& alimenti indigentia. Quorum verò fortuna est caussa malorum sunt priuatio amicorum, paucitas amicorum. Quocirca & diuelli ab amicis ac familiaribus miserabile est: turpitudo, imbecillitas, debilitas, & vnde conueniebat boni aliquid effici, mali aliquid contigisse, idque sæpe. Et postquam passus sit, factum esse aliquid boni, vt Diopithi ea, quæ à Rege missa sunt, quòd mortuo missa sint. Et nihil factum esse boni, aut eorum, quæ facta sunt, non esse fruitionem. ob quæ igitur miserentur, hæc, & talia sunt. Miserantur verò & familiares, si non valde coniuncti sint necessitudine. Erga hos autem, vt erga se ipsos passuros, se habent. Quamobrem & Amasis in casu filij, qui ad moriendum perducebatur, lachrymas non effudit, vt aiunt, sed in casu amici, qui mendicabat, effudit. hoc enim est miserabile: illud atrox. Nã atrox diuersum est à miserabili, & habet vim pellendæ misericordiæ, & sæpe in contrarium vtile est. Præterea miserantur, si ipsum atrox propè sit. Et similes miserantur ætate, moribus, habitibus, dignitatibus, generibus. Nam in omnibus hic magis apparet, etiam ipsi idem posse contingere. Omnino enim oportet assumere, quæ sibi metuunt, ea aliis cùm fiunt, ipsos miserari. Quoniam autem quæ prope apparẽt perpessiones, miserabiles sunt: at quæ abhinc decem milia annorum facta sunt, aut futura sunt, ea neque expectantes, neque recordantes, aut omnino non miserantur, aut non similiter: necesse est qui repræsentantur figuris, & vocibus, & vestitu, & omnino simulatione, miserabiliores esse: faciunt enim vt propinquum appareat, malum antè oculos proponentes, aut tanquam futurum, aut tanquam factum. Et quæ facta sunt nuper, aut futura sunt breui, miserabiliora sunt propter idem. Et signa, & actiones, vt vestes eorum qui passi sunt, & quæcunque talia. Et sermones eorum, qui in perpessione sunt, vt qui iam animam efflant. Et maximè virtute præditos esse, cùm in talibus temporibus sunt: omnia enim hæc, quia propè apparent: magis efficiunt miserationem, quasi & ille indignus sit, & ante oculos appareat perpessio.

A καὶ τροφῆς ἔνδεια. ὧν δὲ ἡ τύχη αἰτία κακῶν, ἀφιλία, ὀλιγοφιλία. διὸ καὶ τὸ διεσπάσθαι ἀπὸ τῶν φίλων καὶ συνήθων, ἐλεεινόν. αἶσχος, ἀσθένεια, ἀναπηρία. καὶ τὸ ὅθεν προσῆκεν ἀγαθόν τι πρᾶξαι, κακόν τι συμβῆναι. καὶ τὸ πολλάκις τοιοῦτο. καὶ τὸ πεπονθότος γενέσθαι τι ἀγαθόν· οἷον, Διοπείθει τὰ παρὰ βασιλέως, τεθνεῶτι κατεπέμφθη. καὶ τὸ, ἢ μηδὲν γεγενῆσθαι B ἀγαθὸν, ἢ γενομένων μὴ εἶναι ἀπόλαυσιν. ἐφ' οἷς μὲν οὖν ἐλεοῦσι, ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν. ἐλεοῦσι δὲ τούς τε γνωρίμους, ἐὰν μὴ σφόδρα ἐγγὺς ὦσιν οἰκειότητι. περὶ δὲ τούτους, ὥσπερ περὶ αὐτοὺς μέλλοντας ἔχουσι· διὸ καὶ Ἄμασις, ἐπὶ μὲν υἱεῖ ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν, οὐκ ἐδάκρυσεν, ὥς φασιν· ἐπὶ δὲ τῷ φίλῳ, προσαιτοῦντι. τοῦτο μὲν γὰρ, ἐλεεινόν· ἐκεῖ-C νο δὲ, δεινόν· τὸ γὰρ δεινὸν, ἕτερον τοῦ ἐλεεινοῦ, καὶ ἐκκρουστικὸν τοῦ ἐλέου, καὶ πολλάκις τῷ ἐναντίῳ χρήσιμον. ἔτι ἐλεοῦσιν, ἐγγὺς αὐτοῦ τοῦ δεινοῦ ὄντος. καὶ τοὺς ὁμοίους ἐλεοῦσι, κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις, κατὰ ἀξιώματα, κατὰ γένη· ἐν πᾶσι γὰρ τούτοις μᾶλλον φαίνεται καὶ αὐτῷ ἂν ὑπάρξαι· ὅλως γὰρ καὶ ἐνταῦθα δεῖ λαβεῖν, ὅτι ὅσα ἐφ' αὑτῶν D φοβοῦνται, ταῦτα ἐπ' ἄλλων γιγνόμενα ἐλεοῦσιν. ἐπεὶ δ' ἐγγὺς φαινόμενα τὰ πάθη, ἐλεεινά ἐστι· τὰ δὲ μυριοστὸν ἔτος γενόμενα, ἢ ἐσόμενα, οὔτ' ἐλπίζοντες, οὔτε μεμνημένοι, ἢ ὅλως οὐκ ἐλεοῦσιν, ἢ οὐχ ὁμοίως, ἀνάγκη τοὺς συναπεργαζομένους σχήμασι καὶ φωναῖς καὶ ἐσθῆτι, καὶ ὅλως τῇ ὑποκρίσει, ἐλεεινοτέρους εἶναι· ἐγγὺς γὰρ ποιοῦσι φαίνεσθαι, E τὸ κακὸν πρὸ ὀμμάτων ποιοῦντες, ἢ ὡς μέλλον, ἢ ὡς γεγονός. καὶ τὰ γεγονότα ἄρτι, ἢ μέλλοντα διὰ ταχέων, ἐλεεινότερα διὰ τὸ αὐτό. καὶ τὰ σημεῖα, καὶ τὰς πράξεις· οἷον, ἐσθῆτάς τε τῶν πεπονθότων, καὶ ὅσα τοιαῦτα· καὶ λόγους, καὶ ὅσα ἄλλα τῶν ἐν τῷ πάθει ὄντων, οἷον ἤδη τελευτώντων. καὶ μάλιστα τὸ σπουδαίους εἶναι, ἐν τοῖς τοιούτοις καιροῖς F ὄντας, ἐλεεινόν· ἅπαντα γὰρ ταῦτα, διὰ τὸ ἐγγὺς φαίνεσθαι, μᾶλλον ποιεῖ τὸν ἔλεον, καὶ ὡς ἀναξίου τε ὄντος, καὶ ἐν ὀφθαλμοῖς φαινομένου τοῦ πάθους.

## CAPVT IX.

Opponitur autẽ, ei quod miseratur, maximè id, quod appellãt stomachari. Nã dolori propter indignas res aduersas,

## Κεφάλαιον θ.

Ἀντίκειται δὲ τῷ ἐλεεῖν, μάλιστα μὲν, ὃ καλοῦσι νεμεσᾶν· τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις, ἀντικείμενόν

ἐστὶ τρό-